## **δάκτυλος κατὰ βακχεῖον ἀπὸ τροχαίου / dactylus per bacchium ex trochaeo**

Arist. Qvint. I 17 (p. 38. 3 sqq. Winnington-Ingram) εἰσὶ δὲ καὶ ἕτεροι ῥυθμοὶ μικτοὶ τὸν ἀριθμὸν ἕξ· κρητικός, ὃς συνέστηκεν ἐκ τροχαίου θέσεως καὶ τροχαίου ἄρσεως· δάκτυλος κατ᾽ ἴαμβον, ὃς σύγκειται ἐξ ἰάμβου θέσεως καὶ ἰάμβου ἄρσεως· δάκτυλος κατὰ βακχεῖον τὸν ἀπὸ τροχαίου, ὃς γίνεται ἐκ τροχαίου θέσεως καὶ ἰάμβου ἄρσεως· δάκτυλος κατὰ βακχεῖον τὸν ἀπὸ ἰάμβου, ὃς ἐναντίως ἐσχημάτισται τῷ προειρημένῳ· δάκτυλος κατὰ χορεῖον τὸν ἰαμβοειδῆ (τὸν μὲν γὰρ αὐτῶν εἰς θέσιν, τὸν δὲ εἰς ἄρσιν δέχεται)· δάκτυλος κατὰ χορεῖον τὸν τροχαιοειδῆ ἀναλόγως τῷ προειρημένῳ συγκείμενος.

Mart. Cap. IX 993 (p. 383. 17 sqq. Willis) sunt autem mixti generis quinque, id est dactylus per iambum, dactylus in bacchium incidens [is] qui veniat ex trochaeo, dactylus per bacchium qui ex iambo manaverit, dactylus per chorium, qui ex iambi similitudine exordium mutuetur, dactylus per chorium, qui ex similitudine trochaei videatur expressus. [*M.E.*]